Στρ. Τοῖς ἐκ Πύλου ληφθεῖσι τοῖς Λακωνικοῖς. A
Ἀτὰρ τί ποτ' ἐς τὴν γῆν βλέπουσιν οὑτοιΐ;
Μα. Ζητοῦσιν οὗτοι τὰ κατὰ γῆς. Στρ. Βολβοὺς ἄρα
Ζητοῦσι. μή νυν τουτό γε φροντίζετε.
Ἐγὼ γὰρ οἶδ' ἵν' εἰσὶ μεγάλοι καὶ καλοί.
Τί γὰρ οἵδε δρῶσιν, οἱ σφόδρ' ἐγκεκυφότες; B
Μα. Οὗτοι δ' ἐρεβοδιφῶσιν ὑπὸ τὸν τάρταρον.
Στρ. Τί δῆθ' ὁ πρωκτὸς ἐς τὸν οὐρανὸν βλέπει;
Μα. Αὐτὸς καθ' αὑτὸν ἀστρονομεῖν διδάσκεται.
Ἀλλ' εἴσιθ', ἵνα μὴ 'κεῖνος ἡμῖν ἐπιτύχῃ.
Στρ. Μήπω γε, μήπω γ'. ἀλλ' ἐπιμεινάντων, ἵνα C
Αὐτοῖσι κοινώσω τι πραγμάτιον ἐμόν.
Μα. Ἀλλ' οὐχ οἷόν τ' αὐτοῖσι πρὸς τὸν ἀέρα
Ἔξω διατρίβειν πολὺν ἄγαν γ' ἐστὶ χρόνον.
Στ. Πρὸς τῶν θεῶν τί γὰρ τάδ' ἐστὶν εἰπέ μοι.
Μα. Ἀστρονομία μὲν αὑτηί. Στ. τουτὶ δὲ τί;
Μα. Γεωμετρία. Στ. τοῦτ' οὖν τί ἐστι χρήσιμον;
Μα. Γῆν ἀναμετρεῖσθαι. Στ. Πότερα τὴν κληρουχικήν; D
Μα. Οὐκ. ἀλλὰ τὴν σύμπασαν. Στ. Ἀστεῖον λέγεις.

*ST. Lacedæmoniis similes, captiuis è Pylo.* A
*Sed terram cur ita intuentur cernui?*
*DI. Hi quæritant ea, quæ sunt terræ. ST. Quæritant*
*Igitur bulbos. At pueri, huius rei ne satagite:*
*Ego enim noui melius, vbi sint magni & boni:*
*Sed hi quid agunt obstipo proni vertice?*
*DI. Erebum isti inquirunt, & quæ subsunt Tartaro.* B
*ST. At podex illorum cur ita sursum aspicit?*
*DI. Addiscit vltro contemplari sydera.*
*Sed ingredimini, ne is forte in nos incidat.*
*ST. Minimè, minimè inquam: sed maneant hic, vt meum*
*Cum ipsis communicem quoddam negocium.* C
*DI. At ipsis intolerabile prorsus est, diu*
*Morari in aere. ST. Per Deum te quæso, dic*
*Mihi, quid hæc sint? DI. Astronomia hæc est. ST. Sed quid hoc?*
*DI. Geometria. ST. Sed quam ad rem fiet hoc vtile?*
*DI. Ad metiendum terram. ST. Eam ne, quæ datur* D
*Sortitò? DI. Non, sed ad vniuersam. ST. Lepidè ais.*

Σχόλια. Τοῖς ἐκ Πύλου ληφθεῖσι.] Πύλος, χωρίον τῆς Λακωνικῆς. ἔνθα Κλέων στρατηγήσας, ἔλαβεν αἰχμαλώτους προανύσαντος τὸν πόλεμον Δημοσθένους καὶ Νικίου. εἰκὸς οὖν τούτους καὶ διὰ τὸν αἰχμαλωτισμοῦ φόβον καὶ διὰ τὸ πολλαῖς μὲν ἡμέραις πεπολιορκῆσθαι ἐν ἐρήμῳ νήσῳ καὶ ἀφ' ἧς οὐδὲν τῶν ἐπιτηδείων ἦν λαβεῖν, (E) πολλῷ δὲ καὶ μετὰ τὴν ἅλωσιν συγκλεῖσθαι χρόνῳ δεδεμένους ἐν ξύλῳ, ὠχρούς τε καὶ ἰσχνούς, καὶ δυσώδεις γεγονέναι. ἰστέον δὲ ὅτι τρεῖς ἐπωνυμίας εἶχε τότε. Πύλος. Κορυφάσιον. Σφακτηρία. ἄλλως. Πύλος. νῆσος πλησίον Πελοποννήσου. ταύτην ἐν τῷ Πελοποννησιακῷ πολέμῳ Λάχης προκαταλαβὼν ὁ τῶν Ἀθηναίων στρατηγός, φρούριον ᾠκοδόμησεν. ὅθεν ἐξορμώμενος, τὴν παραλίαν ἐδῄου τῆς Λακωνικῆς. Λακεδαιμόνιοι γοῦν καταλῦσαι τὸ φρούριον θέλοντες, ἐπέπλευσαν τῇ νήσῳ. καὶ παραστησάμενοι, (F) ἄνδρας ἑπτακοσίους ἐντὸς τοῦ φρουρίου κατέλιπον. Ἀθηναῖοι οὖν ἔπεμψαν πολλήν τινα στρατιὰν κατὰ τῶν ἀνδρῶν τούτων μετὰ Κλέωνος στρατηγοῦ. ἐλθὼν οὖν ὁ Κλέων, μετὰ τῆς στρατιᾶς, καὶ πλεῖστον χρόνον τούτους πολιορκήσας, ὕστερον παρεστήσατο καὶ αἰχμαλώτους λαβών, Ἀθήναζε ἤγαγεν. οἳ, διά τε τὸν πολὺν λιμὸν ὃν ὑπέστησαν διὰ τῆς πολιορκίας, καὶ διὰ τὸ κατακλεισθῆναι Ἀθήνησιν εἰς εἱρκτὴν πάνυ ὠχροὶ ἦσαν. Ἀτὰρ τί ποτε.] διὰ τί ἄρα. εἰσελθὼν δὲ ἐπὶ συνουσίᾳ κατέλαβε τοὺς περὶ Σωκράτην καθημένους. ἅτε φροντίζοντας περὶ τῆς ἐμπίδος. (G) καὶ συγκεκυφότας εἰς γῆν. Βολβούς.] τὰ λεγόμενα ὕδνα. ἅτινα τὴν γῆν σκάπτοντες εὑρίσκουσιν οἱ ἄνθρωποι. Ἐγὼ γὰρ οἶδ'.] ὡς ἀγροικός φησιν εἰδέναι τῶν περὶ Σωκράτην ἀκριβέστερον, ἔνθα οἱ βολβοὶ φύονται. Οἱ σφόδρ' ἐγκεκυφότες.] τοιαῦτα γὰρ τὰ τῶν ἄγαν φροντιζόντων. καὶ περὶ τὴν διάνοιαν ἐχόντων σχήματα. Ὅμηρος. στάσκεν, ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονὸς ὄμματα πήξας. Ἐρεβοδιφῶσιν.] τὰ ὑπὸ ἔρεβος διφῶσι. τουτέστι τὰ ὑπὸ γῆν ζητοῦσι. ἐρευνῶσιν ἐξετάζουσι. τάρταρος δέ ἐστιν ὁ ὑπὸ γῆν (E) κατώτατος τόπος. Τί δῆθ' ὁ πρωκτός.] ἴσως ἐντεῦθεν τοῦτο εἴληφεν ἐκ τῆς ἐμπίδος. ἐπεὶ κἀκείνην διὰ τοῦ πρωκτοῦ ᾄδειν ἔλεγεν. ἀστρονομεῖν διδάσκεσθαι λέγει. ἀνάγκη γὰρ συγκεκυφότων αὐτῶν καὶ εἰς γῆν ὁρώντων, ἄνω τὸν πρωκτὸν βλέπειν. Ἀλλ' εἴσιθ' ἵνα μὴ 'κεῖνος.] κατὰ τὸ σιωπώμενον ἄλλων ἐξεληλυθότων ἐκ τοῦ φροντιστηρίου, τοῖς φιλοσόφοις φησίν, ὅτι εἴσιτε ἀντὶ τοῦ εἰσέλθετε ἵνα μὴ ὁ Σωκράτης εὕρῃ ἡμᾶς ἐνταῦθα διατρίβοντας. τὸ δ' ἐκεῖνος, κατ' ἐξοχήν. ἄλλως. τὸ ἐκεῖνος τὸ αὐτός, ἀντὶ ὀνομάτων παραλαμβάνουσι. καὶ Ὅμηρος παρεισάγει τὴν Θέτιν (F) λέγουσαν, τίπτε μ' ἐκεῖνος ἄνωγε μέγας θεός. καὶ παρὰ Πυθαγορείοις τὸ αὐτὸς ἔφα, τουτέστιν ὁ Πυθαγόρας. καὶ ἐν τοῖς ἑξῆς αὐτός. ἤγουν ὁ Σωκράτης.

Bisetus. Ἐπιμεινάντων] ἀντὶ τοῦ ἐπιμεινάτωσαν. τοῦτο δὲ Ἀττικόν.

Σχόλια. Πρὸς τῶν θεῶν τί ταῦτα.] εἰσελθὼν ὁ πρεσβύτης ὁρᾷ τὰ τῶν φιλοσόφων σκεύη. ἄβακα ἢ σφαῖραν, ἢ ζωγραφίαν καὶ ἐρωτᾷ τί ἐστι. τουτὶ δὲ τί. διαγράμματά τινα καὶ πίνακας δεικνύουσιν ἀστρονομικῶν καὶ γεωμετρικῶν. Πότερα τὴν κληρουχικήν.] ὡς ἄγροικος ταῦτά φησι. τὴν (G) ἰδιωτικὴν τὴν ὑπὸ κλήρου δεδομένην. τὴν τελοῦσαν. ἐπειδὴ οἱ Ἀθηναῖοι λαμβάνοντες πόλιν πολεμίαν, καὶ τοὺς ἐνοικοῦντας ἐκβάλλοντες, κλήρῳ τὴν γῆν αὐτοῖς διένεμον. ἢ κληρουχικὴν ἐνταῦθα λέγει τὴν γεωργικήν. κληροῦχοι γὰρ οἱ γεωργοί, διὰ τὸ τοὺς Αἰγυπτίους κλήρῳ μερίζειν τὴν αὐτῶν γεωργίαν.

Τὸ γὰρ